## Platone,
## Alcibiade II, 147 b 7 – 147 d 5

## Tutti i poeti parlano per enigmi

ΣΩ. Καὶ μάλα γε πρὸς λόγον· ἀλλ' αἰνίττεται, ὦ βέλ-
τιστε, καὶ οὗτος καὶ ἆλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες.
ἔστιν τε γὰρ φύσει ποιητικὴ ἡ σύμπασα αἰνιγματώδης καὶ
οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι· ἔτι τε πρὸς τῷ
φύσει τοιαύτη εἶναι, ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε καὶ
μὴ βουλομένου ἡμῖν ἐνδείκνυσθαι ἀλλ' ἀποκρύπτεσθαι ὅτι
μάλιστα τὴν αὑτοῦ σοφίαν, ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς
δύσγνωστον φαίνεται, ὅτι ποτὲ νοοῦσιν ἕκαστος αὐτῶν.
οὐ γὰρ δήπου Ὅμηρόν γε τὸν θειότατόν τε καὶ σοφώτατον
ποιητὴν ἀγνοεῖν δοκεῖς ὡς οὐχ οἷόν τε ἦν ἐπίστασθαι
κακῶς–ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην πολλὰ
μὲν ἐπίστασθαι, κακῶς δέ, φησί, πάντα ἠπίστατο–ἀλλ'
αἰνίττεται οἶμαι παράγων τὸ κακῶς μὲν ἀντὶ τοῦ κακοῦ, τὸ
δὲ ἠπίστατο ἀντὶ τοῦ ἐπίστασθαι· γίγνεται οὖν συντεθὲν
ἔξω μὲν τοῦ μέτρου, ἔστι δ' ὅ γε βούλεται, ὡς πολλὰ μὲν
ἠπίστατο ἔργα, κακὸν δ' ἦν ἐπίστασθαι αὐτῷ πάντα ταῦτα.